ΑΝΑΣΤ. Π.Π. ΣΤΑΜΟΥΛΗ
[illegible] ΣΗΛΥΜΒΡΙΑΣ
ΘΡΑΚΙΚΑ

ΘΡΑΚΕΣ

Εὔμολπος. Τηρεύς;

Ἑκαταῖος Μιλήσιος:
Griechenland

Στράβων VII 7,1

ἐν Felix Jacoby:
Fragmente der Griechischen Historiker
Zu Erster Teile
Berlin 1923.
σ. 23

Στράβων VII 7.1.

Ἑκαταῖος μὲν οὖν ὁ Μιλήσιος περὶ τῆς Πελοποννήσου φησίν, διότι πρὸ τῶν Ἑλλήνων ᾤκησαν αὐτὴν βάρβαροι. Σχεδὸν δέ τι καὶ ἡ σύμπασα Ἑλλὰς κατοικία βαρβάρων ὑπῆρξε τὸ παλαιόν, ἀπ' αὐτῶν λογιζομένοις τῶν μνημονευομένων· Πέλοπος μὲν ἐκ τῆς Φρυγίας ἐπαγομένου λαὸν εἰς τὴν ἀπ' αὐτοῦ κληθεῖσαν Πελοπόννησον, Δαναοῦ δὲ ἐξ Αἰγύπτου, Δρυόπων τε καὶ Καυκώνων καὶ Πελασγῶν καὶ Λελέγων καὶ ἄλλων τοιούτων κατανειμαμένων τὰ ἐντὸς Ἰσθμοῦ καὶ τὰ ἐκτὸς δέ.

Τὴν μὲν γὰρ Ἀττικὴν οἱ μετὰ Εὐμόλπου Θρᾷκες ἔσχον, τῆς δὲ Φωκίδος τὴν Δαυλίδα Τηρεύς, τὴν δὲ Καδμείαν οἱ μετὰ Κάδμου Φοίνικες, αὐτὴν δὲ τὴν Βοιωτίαν Ἄονες καὶ Τέμμικες καὶ Ὕαντες (ὡς δὲ Πίνδαρός φησιν [F 83] "ἦν ὅτε σύας Βοιώτιον ἔθνος ἔνεπον"). Καὶ ἀπὸ τῶν ὀνομάτων δ' ἐνίων τὸ βάρβαρον ἐμφαίνεται. Κέκροψ καὶ Κόδρος καὶ Αἴκλος καὶ Κόθος καὶ Δρύμας καὶ Κρίνακος.

Οἱ δὲ Θρᾷκες καὶ Ἰλλυριοὶ καὶ Ἠπειρῶται καὶ μέχρι νῦν ἐν πλευραῖς εἰσιν.

Ἔτι μέντοι μᾶλλον πρότερον ἢ νῦν, ὅπου γε καὶ τῆς ἐν τῇ παραλίᾳ Ἑλλάδος ἀναντιλέκτως οὔσης [τὴν] πολλὴν οἱ βάρβαροι ἔχουσι.

Μακεδονίαν μὲν Θρᾷκες καὶ τινα μέρη τῆς Θετταλίας.

Ἀκαρνανίας δὲ καὶ Αἰτωλίας ⟨τὰ⟩ ἄνω Θεσπρωτοὶ καὶ ⟨Κ⟩ασσωπαῖοι καὶ Ἀμφίλοχοι καὶ Μολοττοὶ καὶ Ἀθαμᾶνες, Ἠπειρωτικὰ ἔθνη.

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

2/

Σώστρατος.

Σώστρατος:
"Θρακικὰ"

Στοβαῖος
Flor. III 7.67

(= Ps. Πλουτάρχου:
Παράλληλα
min. 18 p. 310 A.

Αὐτόθι σ. 186-7

Σωστράτου: Θρακικά.
Στοβαῖος Flor. III 7.67 (= Ps. Plut. Parall. min. 18 p. 310 A).

Σωστράτου ἐν δευτέρῳ Θρᾳκικῶν. Ἀθηναῖοι πρὸς Θρᾷκας πόλεμον ἔχοντες στρατηγὸν ἐχειροτόνησαν Κόδρον. Οὗτος ἀκούσας ὅτι χρησμὸν εἰλήφασιν οἱ πολέμιοι ἐγκρατεῖς γενήσεσθαι τῆς νίκης αὐτοὶ ἐὰν τοῦ στρατηγοῦ φείσωνται τῶν Ἀθηναίων, ἐνδυσάμενος σχῆμα συνέβαλε μάχην κατὰ τῶν Θρᾳκῶν ξυλλογούντων καὶ τῷ δρεπάνῳ καιρίως ἐξ αὐτῶν ἕνα πλήξας ἀνεῖλεν. οἱ δὲ λοιποὶ τὴν [illegible] τοῦ στρατηγήματος μὴ γινώσκοντες ἀπέκτειναν τὸν Κόδρον θέλοντα. ἐμβαλόντες δὲ τὸν πόλεμον Ἀθηναῖοι τῆς νίκης ἐγκρατεῖς ἐγένοντο.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ